# MALS 2023
# Intermediate Greek
# Samuel Hendrick Wessels

## Table of Contents

1. Aristophanes ΝΕΦΕΛΑΙ ........ 3
2. Lucian ΠΕΡΙ ΤΗΣ ΣΥΡΙΗΣ ΘΕΟΥ 7-8 ........ 2
3. PMich I 29 13. - 21. Juli 256 v.Chr. ........ 5
4. Sytipas 56 Κυνόδηκτος ........ 2
5. Babrius 37 ........ 4
6. Desert Fathers 60.1 ........ 2
7. Ο Πόλεμος της Τρωάδος ........ 6

## 1. Desert Fathers 60.1

Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ μαθητοῦ τοῦ ἀββᾶ Παύλου, ὅτι εἶχε μεγάλην ὑπακοήν. Ἦν δὲ ἔν τινι τόπῳ μνημεῖα, καὶ ᾤκει ὕαινα ἐκεῖ. Ὁ δὲ γέρων εἶδε περὶ τὸν τόπον βόλβιτα· καὶ λέγει τῷ Ἰωάννῃ ἀπελθεῖν καὶ ἐνεγκεῖν αὐτά. Ὁ δὲ εἶπεν αὐτῷ· Καὶ τί ποιήσω, ἀββᾶ, διὰ τὴν ὕαιναν; Ὁ δὲ γέρων χαριεντιζόμενος εἶπεν· Ἐὰν ἔλθῃ ἐπάνω σου, δῆσον αὐτήν, καὶ φέρε αὐτὴν ὧδε. Ἀπῆλθεν οὖν ὁ ἀδελφὸς ἐκεῖ ὀψέ. Καὶ ἰδοὺ ἦλθεν ἡ ὕαινα ἐπάνω αὐτοῦ. Ὁ δέ, κατὰ τὸν λόγον τοῦ γέροντος, ὥρμησε κρατῆσαι αὐτήν. Καὶ ἔφυγεν ἡ ὕαινα. Καὶ διώκων αὐτὴν ἔλεγεν· Ὁ ἀββᾶς μου εἶπεν ἵνα σε δεσμήσω. Καὶ κρατήσας αὐτὴν ἔδησεν. Ἐθλίβετο δὲ ὁ γέρων, καὶ ἐκάθητο περιμένων αὐτόν. Καὶ ἰδοὺ ἦλθεν ἔχων τὴν ὕαιναν δεδεμένην. Καὶ ἰδὼν ὁ γέρων ἐθαύμασε. Καὶ θέλων ταπεινῶσαι αὐτόν, ἔτυψεν αὐτὸν λέγων· Σαλέ· κύνα σαλὸν ἤνεγκάς μοι ὧδε; Ἔλυσε δὲ αὐτὴν εὐθὺς ὁ γέρων, καὶ ἀπέλυσεν ἀπελθεῖν.

## 2. Lucian ΠΕΡΙ ΤΗΣ ΣΥΡΙΗΣ ΘΕΟΥ 7-8

Εἰσὶ δὲ ἔνιοι Βυβλίων οἳ λέγουσι παρὰ σφίσι τεθάφθαι τὸν Ὄσιριν τὸν Αἰγύπτιον, καὶ τὰ πένθεα καὶ τὰ ὄργια οὐκ ἐς τὸν Ἄδωνιν ἀλλ' ἐς τὸν Ὄσιριν πάντα πρήσσεσθαι. ἐρέω δὲ καὶ ὁκόθεν καὶ τάδε πιστὰ δοκέουσι. κεφαλὴ ἑκάστου ἔτεος ἐξ Αἰγύπτου ἐς τὴν Βύβλον ἀπικνέεται πλώουσα τὸν μεταξὺ πλόον ἑπτὰ ἡμερέων, καί μιν οἱ ἄνεμοι φέρουσι θείῃ ναυτιλίῃ· τρέπεται δὲ οὐδαμά, ἀλλ' ἐς μούνην τὴν Βύβλον ἀπικνέεται. καὶ ἔστι τὸ σύμπαν θωῦμα. καὶ τοῦτο ἑκάστου ἔτεος γίγνεται, τὸ καὶ ἐμεῦ παρεόντος ἐν Βύβλῳ ἐγένετο· καὶ τὴν κεφαλὴν ἐθεησάμην Βυβλίνην.

## 3. Sytipas 56 Κυνόδηκτος

Ἀνήρ τις ὑπὸ κυνὸς καιρίως δηχθεὶς ἐζήτει τὸν τὴν πληγὴν αὐτοῦ θεραπεύσοντα. ἕτερος δέ τις αὐτῷ συναντήσας ἔφη πρὸς αὐτόν "τοῦτο προσήκει ποιῆσαί σε· ἀπὸ τοῦ τῆς πληγῆς αἵματος ἐπισταλάξαι τῷ ψωμῷ καὶ τῷ δακόντι κυνὶ τὸν ψωμὸν ἐπιρρίψαι φαγεῖν, καὶ οὕτως ἡ πληγή σου θεραπευθήσεται." ὁ δὲ δηχθεὶς ἀντέφη αὐτῷ "εἰ τοῦτο ποιήσω, ὑπὸ πάντων τῶν ἐν τῇ πόλει ταύτῃ κυνῶν ἔσομαι δακνόμενος."

Οὗτος ὁ λόγος δηλοῖ ὡς εἰ καὶ τὸν σκαιὸν ἄνθρωπον τιμήσειέ τις καὶ δεξιώσαιτο, ἀλλ’ οὐκ ἐκεῖνος αὐτὸν τὸν τιμήσαντα, ἀλλὰ τοὺς ὁμοίους αὐτῷ κακοὺς μᾶλλον ἀγαπᾷ.

## 4. Aristophanes ΝΕΦΕΛΑΙ

ΣΤΡΕΨΙΑΔΗΣ Strepsiades Στ.
ΦΕΙΔΙΠΠΙΔΗΣ Phidippides Φε.

Στ. ἰοὺ ἰού.
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον·
ἀπέραντον. οὐδέποθ’ ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ’ ἀλεκτρυόνος ἤκουσ’ ἐγώ·
οἱ δ’ οἰκέται ῥέγκουσιν. ἀλλ’ οὐκ ἂν πρὸ τοῦ.
ἀπόλοιο δῆτ’, ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτ’ οὐδὲ κολάσ’ ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ’ οὐδ’ ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτός, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
ἀλλ’ εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.
ἀλλ’ οὐ δύναμαι δείλαιος εὕδειν δακνόμενος
ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων
ἱππάζεταί τε καὶ ξυνωρικεύεται
ὀνειροπολεῖ θ’ ἵππους. ἐγὼ δ’ ἀπόλλυμαι
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας·
οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε, παῖ, λύχνον
κἄκφερε τὸ γραμματεῖον, ἵν’ ἀναγνῶ λαβὼν
ὁπόσοις ὀφείλω καὶ λογίσωμαι τοὺς τόκους.
φέρ’ ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;

ὅτ’ ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,
εἴθ’ ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.
Φε Φίλων, ἀδικεῖς. ἔλαυνε τὸν σαυτοῦ δρόμον.
Στ. τοῦτ’ ἐστὶ τουτὶ τὸ κακὸν ὅ μ’ ἀπολώλεκεν·
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
Φε. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;
Στ. ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ’ ἐλαύνεις δρόμους.
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;
τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ.
Φε. ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.
Στ. ἀλλ’, ὦ μέλ’, ἐξήλικας ἐμέ γ’ ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὤφληκα χἄτεροι τόκου
ἐνεχυράσεσθαί φασιν. Φε. ἐτεόν, ὦ πάτερ,
τί δυσκολαίνεις καὶ στρέφει τὴν νύχθ’ ὅλην;
Στ. δάκνει μέ τις δήμαρχος ἐκ τῶν στρωμάτων.
Φε. ἔασον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.

## 5. Babrius 37

Δαμάλης ἐν ἀγροῖς ἄφετος, ἀτριβὴς ζεύγλης,
κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ
“τάλας” ἐφώνει “μόχθον οἷον ὀτλεύεις.”
ὁ βοῦς δ’ ἐσίγα χὐπέτεμνε τὴν χώρην.
ἐπεὶ δ’ ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,
ὁ δὲ μόσχος ἀδμὴς κεῖνος εἵλκετο σχοίνῳ
δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.
κἀκεῖνος αὐτῷ τοιάδ’ εἶπε φωνήσας·
“εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης.
ὁ νέος παρέρπεις τὸν γέροντα, καὶ θύῃ,

καὶ σοῦ τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει.”

[Ἔργοις ἔπαινος, ἀργίᾳ δὲ κίνδυνος.]

## 6. PMich I 29

13. - 21. Juli 256 v.Chr.

Ζήνωνι χαίρειν Σενχώνς. ἐνήτῳχ[όν](*)
σοι περὶ τῆς ὄνου μου ἣν ἔλαβεν Νικί[ας].
ἴ(*) μοι ἔγραψας περὶ αὐτῆς, ἀπέστ[ειλα]
ἄν \σοι/ αὐτήν. ἴ(*) σοι δοκεῖ, συντάξαι(*)ἀποδο[ῦ-]
ναι αὐτήν, ἵνα τὰ ζμήνεα(*) μ̣ε̣τ̣α̣γ[ά-]
γωμεν ἐπὶ τα(*) νομάς, μέ(*) σοι παρα-
πόλωνται μέτε(*) σοὶ μέτε(*) τῶι βα[σι-]
λεῖ. καὶ ἐὰν ἐπιζετῆς(*) τὸ πρᾶγμα,
πεισθήσεις(*) ὅτι χρήσιμοί σοί ἰμεν̣(*). κ̣α̣[ὶ]
τὸν(*) δὲ πῶλον(*) αὐτῆς ἀποστηλῶ(*) [σοι]
αὐτόν. δέομαι ὂν(*) σοι καὶ εἰκετεύω(*)
μέ(*) με παραελκύσης(*). γυνή ἰμι(*) χέ[ρα](*).
εὐτύχι(*). v
(ἔτους) λ, Παχὼνς κ[ ̣].
Σενχὼν̣ς̣ ὄνου.

### Apparatus

r.1. l. ἐνέτυχ[όν]
r.3. l. εἴ
r.4. l. εἴ
r.4. l. σύνταξον
r.5. l. σμήνη
r.6. l. τὰς
r.6. l. μή
r.7. l. μήτε
r.8. l. ἐπιζητῆις
r.9. l. πεισθήσει
r.9. l. ἐσμεν
r.10. corr. ex του
r.10. corr. ex πωλου
r.10. l. ἀποστελῶ
r.11. l. οὖν
r.11. l. ἱκετεύω
r.12. l. μή
r.12. l. παρελκύσῃς
r.12. l. εἰμι
r.12. l. χή[ρα]
r.13. l. εὐτύχει

## 7. Ο Πόλεμος της Τρωάδος

Ἦν τις Ἑλλήνων βασιλεύς, εὐγενικός, ἀνδρεῖος,
πλούσιος καὶ πανευτυχής, χώρας δὲ Μυρμιδόνων.
Οὗτος ὑπῆρχεν ὁ πατὴρ τοῦ λαμπροῦ Ἀχιλλέως·
εἶχε δὲ καὶ αὐτάδελφον ἐν τῇ Πελοποννήσῳ·
Τελαμώνιος ἐλέγετον τὸ ὄνομα ἐκείνου.
Οὗτος ὁ Τελαμώνιος εἶχεν υἱὸν ἀνδρεῖον,
τὸν Ἰασοῦν τὸν πάγκαλον, εὐγενικὸν καὶ μέγαν.
Εἶχε μεγάλην δύναμιν, εἶχε μεγάλην φρόνα
καὶ εἰς πολλὰ βασίλεια, διὰ πολλὰς ἀνδρείας,
ἀκουστὸς καὶ ἐγνώριμος ὑπῆρχεν εἰς τοὺς πάντας.
Οἱ πάντες ἀγαποῦσαν τον, τιμὴν εἶχε μεγάλην·
δύναμιν εἶχεν ἰσχυρήν, πάντες δι' αὐτὸν ἐλέγαν.
Ὡς εἶδε τοῦτον Πήλεος, ὡς ἔβλεπε τὸ πρᾶγμα,
τὸν Ἰασοῦν αὐξάνοντα ἀπὸ πολλῶν εἰς πλέον,
φόβον εἶχεν ἀπόρρητον μήπως ἐξαναστάντος
ἐπάρῃ τὸ βασίλειον καὶ τοῦτον ἐξηβάλῃ·
ὅτι, ἂν ζήσῃ Ἰασοῦς καὶ μόνον ἠθελήσῃ,
εὐκόλως τὸ βασίλειον ἐπάρῃ ἀπ' ἐκεῖνον·
ὁ δὲ Ἀχιλλεὺς μειράκιον μικρὸν τότε ὑπῆρχε.